# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

----------

### ΠΡΟΠΑΡΑΣΚΕΥΗ ΤΟΥ ΛΕΙΤΟΥΡΓΟΥ

Ὁ ἱερεὺς ἐνώπιον τῆς ἁγίας Τραπέζης δέεται ὡς ἀκολούθως.

**Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς καθ᾿ ἑαυτὸν ἐν ἑαυτῷ.** (1)

Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, καὶ χαρισάμενος ἡμῖν παρρησίαν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν σοι τὴν φοβερὰν καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, εἰς ἄνεσιν καὶ ἀνάπαυσιν τῶν προκοιμηθέντων πατέρων ἡμῶν καὶ ἀδελφῶν, καὶ στηριγμὸν παντὸς τοῦ λαοῦ σου, ἐπίβλεψον ἐπ᾿ ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου, καὶ ἐξάλειψόν μου τὰ παραπτώματα διὰ τὴν σὴν εὐσπλαγχνίαν, καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκός τε καὶ πνεύματος, καὶ ἀπόστησον ἀπ᾿ ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον, καὶ ἱκάνωσόν με τῇ

δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην, καὶ πρόσδεξαί με διὰ τὴν σὴν ἀγαθότητα προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ μέλλοντα προσάγεσθαί σοι δῶρα διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις· καὶ μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου· μὴ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα, ἀλλ᾽ ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ἵνα ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς δόξης σου καταξιωθῶ τῆς σκέπης σου καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος, καὶ μὴ ὡς δοῦλος ἁμαρτίας ἀποδόκιμος γένωμαι, ἀλλ᾽ ὡς δοῦλος σὸς εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ναί, Δέσποτα παντοκράτορ, παντοδύναμε Κύριε, ἐπάκουσον τῆς δεήσεώς μου· σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι, καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν, ὅτι φιλάνθρωπος εἶ καὶ δεδοξασμένος ὑπάρχεις, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν εὐχὴν ὁ ἱερεὺς ἐνδύεται τὴν ἱερατικὴν στολὴν αὐτοῦ καὶ νίπτεται τὰς χεῖρας αὐτοῦ.

## ΕΤΟΙΜΑΣΙΑ ΤΟΥ ΑΓΙΟΥ ΘΥΣΙΑΣΤΗΡΙΟΥ (2).

Ὁ ἱερεὺς τελεῖ τὴν Προσκομιδὴν καὶ μετ᾽ αὐτὴν λέγει τὴν ἑξῆς εὐχήν.

## Εὐχὴ μετὰ τὴν ἑτοιμασίαν τοῦ ἁγίου Θυσιαστηρίου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς σωτηριώδους παρουσίας σου καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν καὶ λειτουργεῖν τοῖς ἀχράντοις μυστηρίοις τῆς καινῆς σου διαθήκης, αὐτός, ζωοποιὲ καὶ τῶν ἀγαθῶν χορηγέ, ποίησον μεθ᾽ ἡμῶν σημεῖον εἰς ἀγαθόν, καὶ ἀξίωσον ἡμᾶς ἐν καθαρῷ συνειδότι λατρεῦσαί σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, καὶ ἐν ἁγιασμῷ ταύτην σοι τὴν θείαν προσενεγκεῖν λειτουργίαν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος. Μνήσθητι, ἀγαθέ, εὐεργέτα, βασιλεῦ τῶν αἰώνων καὶ τῆς κτίσεως ἁπάσης δημιουργέ, τῶν προσενεγκάντων καὶ δι᾽ ὧν προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων· ὅτι ηὐλόγηται καὶ ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ἅγιον ὄνομά σου μετὰ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η ΕΙΣΟΔΟΣ (3).

Ὁ διάκονος· Ὀρθοί.

Καὶ γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, ψαλλομένου τοῦ εἰσοδικοῦ. (4).

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.
Ὁ λαός· Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος· Πρόσχωμεν.
Ὁ ἀναγνώστης ἀναγινώσκει περικοπὰς ἐκ τῆς Παλαιᾶς Διαθήκης, μίαν ἐκ τοῦ Νόμου καὶ ἑτέραν ἐκ τῶν Προφητῶν.
Εἶτα ὁ ἀναγνώστης.
Προκείμενον. Ἦχος (...). Ψαλμὸς (...).
Ὁ διάκονος· Πρόσχωμεν.
Καὶ ψάλλεται τὸ προκείμενον.
Εἶτα ὁ διάκονος· Σοφία.
Ὁ ἀναγνώστης τὸν τίτλον τοῦ Ἀποστόλου.
Ὁ διάκονος· Πρόσχωμεν.
Ὁ ἀναγνώστης ἀναγινώσκει τὸν Ἀπόστολον.
Ὁ ἱερεὺς εὐλογῶν τὸν ἀναγνώστην· Εἰρήνη σοι.
Ὁ ἀναγνώστης.
Ἀλληλούια. Ἦχος (...). Ψαλμὸς (...).
Ὁ διάκονος· Πρόσχωμεν.
Καὶ ψάλλεται τὸ Ἀλληλούια μετὰ τῶν στίχων αὐτοῦ· καὶ ὁ μὲν διάκονος θυμιᾷ, ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην.

## Εὐχὴ τοῦ ἁγίου Εὐαγγελίου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἱεροῖς σου ἀποστόλοις εἰπών, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν, ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι

βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούει, καταξίωσον ἡμᾶς ἄρτι τοῦ ἀκοῦσαι καὶ ποιῆσαι τὰ ἅγιά σου εὐαγγέλια ταῖς λιταῖς τῶν ἱερῶν μαθητῶν σου. Μνημόνευσον οὖν. Δέσποτα, καὶ νῦν πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις τοῦ μνημονεύειν αὐτῶν εἰς τὰς δεήσεις τὰς ἡμετέρας καὶ τὰς αἰτήσεις, ἃς ἀναβιβάζομέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν. Τοὺς προτετελευτηκότας ἀνάπαυσον αὐτούς. Τοὺς κάμνοντας ἔρρωσον αὐτούς. Σὺ γὰρ εἶ ζωὴ ἡμῶν πάντων καὶ σωτηρία ἡμῶν πάντων καὶ ἐλπὶς ἡμῶν πάντων καὶ ἴασις ἡμῶν πάντων καὶ ἀνάστασις οἰκεία πάντων ἡμῶν, καὶ σοὶ τὴν δόξαν, τιμὴν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ παντοκράτορί σου καὶ παντεπόπτῃ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωαρχικῷ καὶ ὁμοουσίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὸ Ἀλληλούια καὶ τὴν εὐχήν.

Ὁ ἱερεύς· Στάθητε. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Ἐκ τοῦ κατὰ (...) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ ἱερεύς· Πρόσχωμεν.

Ὁ λαός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ διάκονος ἀναγινώσκει τὸ Εὐαγγέλιον.

Ὁ ἱερεὺς εὐλογῶν τὸν διάκονον· Εἰρήνη σοι.

Ὁ λαός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ γίνεται τὸ κήρυγμα τοῦ θείου λόγου.

## ΑΙ ΔΕΗΣΕΙΣ (6).

Ὁ διάκονος· Ἐπὶ προσευχὴν στάθητε.

Ὁ λαός· Κύριε, ἐλέησον (τρίς).

Ὁ διάκονος· Προσεύξασθε ὑπὲρ τῆς εἰρήνης τῆς ἁγίας μόνης καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας.

Ὁ λαός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν εὐχήν.

**Εὐχὴ περὶ τῆς εἰρήνης.**

Καὶ πάλιν δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. Μνήσθητι, Κύριε, τῆς ἁγίας μόνης καθολικῆς καὶ ἀποστολικῆς σου Ἐκκλησίας, τῆς ἀπὸ περάτων τῆς οἰκουμένης μέχρι τῶν περάτων αὐτῆς, καὶ πάντων τῶν λαῶν καὶ πάντων τῶν ποιμνίων. Τὴν ἐξ οὐρανοῦ εἰρήνην βράβευσον ταῖς ἁπάντων ἡμῶν καρδίαις· ἀλλὰ καὶ τοῦ βίου τούτου τὴν εἰρήνην ἡμῖν δώρησαι. Τὸν βασιλέα, τὰ στρατιωτικὰ τάγματα, τοὺς ἄρχοντας, βουλάς, δήμους, γείτονας ἡμῶν, εἰσόδους καὶ ἐξόδους ἡμῶν ἐν εἰρήνῃ κατακόσμησον. Βασιλεῦ τῆς εἰρήνης, τὴν σὴν εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κτῆσαι ἡμᾶς, ὁ Θεός· ἐκτός σου ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν. Ζωοποίησον τὰς ἁπάντων ἡμῶν ψυχὰς διὰ τοῦ ἁγίου σου Πνεύματος· καὶ μὴ κατισχύσῃ θάνατος ἁμαρτίας καθ᾽ ἡμῶν τῶν δούλων σου μηδὲ κατὰ παντὸς τοῦ λαοῦ σου.

Ὁ διάκονος· Προσεύξασθε ὑπὲρ τοῦ ἀρχιερέως ἡμῶν ἀββᾶ (δεῖνος), πάπα καὶ πατριάρχου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, καὶ τῶν ὀρθοδόξων ἡμῶν ἐπισκόπων.

[Ἢ ἐν ἄλλῃ πόλει· Προσεύξασθε ὑπὲρ τοῦ ἀρχιερέως ἡμῶν ἀββᾶ (δεῖνος), μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως (δεῖνος), καὶ τῶν ὀρθοδόξων ἡμῶν ἐπισκόπων].

Ὁ λαός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν εὐχήν.

## Εὐχὴ περὶ τοῦ πάπα.

Μνήσθητι Κύριε, τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιερέως ἡμῶν ἀββᾶ (δεῖνος), πάπα καὶ πατριάρχου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας [ἢ μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως (δεῖνος)]. Συντηρῶν συντήρησον ἡμῖν αὐτὸν ἔτεσι πολλοῖς καὶ χρόνοις εἰρηνικοῖς, ἐπιτελοῦντα τὴν ὑπὸ σοῦ ἐμπεπιστευμένην αὐτῷ ἁγίαν ἀρχιερωσύνην, κατὰ τὸ ἅγιον καὶ μακάριόν σου θέλημα, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας, καὶ ποιμαίνοντα τὸν λαόν σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, σὺν πᾶσιν ὀρθοδόξοις ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, σὺν παντὶ τῷ πληρώματι τῆς ἁγίας καὶ μόνης, καθολικῆς καὶ ἀποστολικῆς σου Ἐκκλησίας, εἰρήνην καὶ ὑγίειαν αὐτοῖς τε καὶ ἡμῖν χαριζόμενος ἐκ πασῶν τῶν ἡμερῶν. Τὰς δὲ εὐχὰς αὐτῶν, ἃς ποιοῦνται ὑπὲρ ἡμῶν καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἡμεῖς ὑπὲρ αὐτῶν, πρόσδεξαι εἰς τὸ οὐράνιον καὶ εὐλογημένον σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας. Πάντα μὲν ἐχθρὸν αὐτοῦ ὁρατὸν ἢ ἀόρατον σύντριψον καὶ καθυπόταξον ὑπὸ τοὺς πόδας αὐτοῦ ἐν τάχει· αὐτὸν δὲ ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ διαφύλαξον.

Ὁ διάκονος· Προσεύξασθε ὑπὲρ τῆς ἁγίας ἐκκλησίας ταύτης καὶ τῶν συνελεύσεων ἡμῶν.

Ὁ λαός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν εὐχήν.

**Εὐχὴ περὶ τῆς ἐπισυναγωγῆς.**

Τὰς ἐπισυναγωγὰς ἡμῶν, Κύριε, εὐλόγησον· τὴν εἰδωλολατρίαν τέλεον ἐκρίζωσον ἀπὸ τοῦ κόσμου· τὸν σατανᾶν καὶ πᾶσαν αὐτοῦ τὴν ἐνέργειαν καὶ πονηρίαν σύντριψον ὑπὸ τοὺς πόδας ἡμῶν· τοὺς ἐχθροὺς τῆς Ἐκκλησίας σου, Κύριε, ὡς πάντοτε, καὶ νῦν ταπείνωσον, γύμνωσον αὐτῶν τὴν ὑπερηφανίαν, δεῖξον αὐτοῖς ἐν τάχει τὴν ἀσθένειαν αὐτῶν, καὶ τὰς μαγγανείας καὶ τὰς πανουργίας, ἃς ποιοῦσι καθ᾽ ἡμῶν, ἀπράκτους ποίησον· ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, καὶ φυγέτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες τὸ ὄνομά σου τὸ ἅγιον· τὸν δὲ λαόν σου τὸν πιστὸν ποίησον ἐπ᾽ εὐλογίαις χιλίας χιλιάδας καὶ μυρίας μυριάδας, ποιοῦντας τὸ θέλημά σου τὸ ἅγιον.

Ἐκφώνως· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν.

Ὁ διάκονος· Βλέπετε μή τις τῶν κατηχουμένων.

## Η ΕΙΣΟΔΟΣ ΤΩΝ ΤΙΜΙΩΝ ΔΩΡΩΝ (7)

Ὁ λαὸς ψάλλει τὸν κγ´ ψαλμὸν Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς ἢ τὸν Χερουβικὸν ὕμνον Οἱ τὰ

Χερουβὶμ μυστικῶς εἰκονίζοντες. Ὁ δὲ ἱερεὺς εὔχεται οὕτως.

## Εὐχὴ τοῦ καταπετάσματος.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν ἀπρόσιτον. Ἀλλ᾽ ὅμως διὰ τὴν ἄφατον καὶ ἄμετρόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων καὶ τῶν καταχθονίων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον Θεόν· ἐπίβλεψον ἐπ᾽ ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιόν σου αἷμα. Σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ᾽ ἀξίωσον προσενεχθῆναί σοι τὰ δῶρα ταῦτα ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου. Σὺ γὰρ εἶ ὁ ἁγιάζων καὶ ἁγιαζόμενος, προσφέρων καὶ προσφερόμενος ὁ δεχόμενος καὶ δεκτός, ὁ διδοὺς καὶ διαδιδόμε-

νος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν μετὰ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ γίνεται ἡ εἴσοδος τῶν τιμίων δώρων· καὶ μετ᾽ αὐτὴν εὔχεται ὁ ἱερεύς.

**Εὐχὴ καταπετάσματος ἄλλη παρ᾽ Αἰγυπτίοις.**

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ὁ ἐτάζων καρδίας καὶ νεφρούς, ὁ ἐμὲ τὸν ἀνάξιον καλέσας πρὸς τὴν σὴν λειτουργίαν ταύτην, μὴ βδελύξῃ με, μηδὲ τὸ πρόσωπόν σου ἀποστρέψῃς ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐξάλειψόν μου πάντα τὰ παραπτώματα, καὶ ἀπόπλυνόν μου τὸν ῥύπον τοῦ σώματος καὶ τὸν σπίλον τῆς ψυχῆς, καὶ ὅλον με ἁγίασον, ἵνα μὴ ἱκετεύων σε δοῦναι ἄλλοις ἄφεσιν ἁμαρτιῶν, αὐτὸς ἀδόκιμος γένωμαι. Ναί, Κύριε, μὴ ἀποστραφείην τεταπεινωμένος καὶ κατῃσχυμμένος, ἀλλ᾽ ἐξαπόστειλόν μοι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ ἀξίωσόν με παραστῆναι ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον ἀκατακρίτως, καὶ προσφέρειν σοι τὴν λογικὴν καὶ ἀναίμακτον προσφορὰν ταύτην μετὰ συνειδήσεως καθαρᾶς, εἰς συγχώρησιν τῶν ἐμῶν ἁμαρτημάτων καὶ παραπτωμάτων καὶ εἰς ἄφεσιν τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, εἰς ἀνάπαυσιν τῶν προκεκοιμημένων πατέρων ἡμῶν καὶ ἀδελφῶν, καὶ εἰς στηριγμὸν παντὸς τοῦ λαοῦ σου, εἰς δόξαν σήν, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.